## Capitolo V

Ὁ Ἄργος ὁρμᾷ ἐπὶ τὸν λύκον.



ἐπί + *acc.*



ὅ τε Φίλιππος καὶ ὁ πάππος ψόφον ἀκούουσιν

ἀκούω + *acc.* (*della cosa*)



τὰ πρόβατα θόρυβον ποιεῖ



### Ο ΛΥΚΟΣ (β)

Ἐπεὶ δὲ τῷ αὐλίῳ προσχωροῦσιν ὅ τε Φίλιππος καὶ ὁ πάππος, πολὺν ψόφον ἀκούουσιν· ὑλακτεῖ γὰρ ἀγρίως ὁ Ἄργος, τὰ δὲ πρόβατα πολὺν θόρυβον ποιεῖ.

| | | | |
|---|---|---|---|
| ὁρμάω | em llenç | ἄγριος,-ᾱ,-ον | salvatge |
| | | ἀγρίως | ferotgement |

## Capitolo V

Σπεύδουσιν οὖν· βούλονται γὰρ γιγνώσκειν τί πάσχει τὰ πρόβατα. Πρῶτος οὖν πάρεστιν ὁ παῖς καὶ ἰδού, ὁ μὲν Ἄργος μένει πρὸς τῇ ὁδῷ καὶ ἀγρίως ὑλακτεῖ, καταβαίνει δὲ ἐκ τοῦ ὄρους πρὸς τὸ αὔλιον λύκος μέγας. Ὁ μὲν οὖν Φίλιππος μέγα βοᾷ καὶ λίθους λαμβάνει καὶ βάλλει τὸν λύκον· ὁ δὲ Ἄργος ὁρμᾷ ἐπ᾽αὐτὸν καὶ οὕτως ἀγρίως ἐμπίπτει ὥστε ἀναστρέφει ὁ λύκος καὶ ἀποφεύγει. Διώκει μὲν οὖν ὁ κύων, ὁ δὲ Φίλιππος σπεύδει μετὰ αὐτόν.

γιγνώσκω ↔ ἀγνοέω



ὁ λύκος



ὁ Φίλιππος βάλλει τὸν λύκον

ἐμπίπτω < ἐν-πίπτω

ἀπο-φεύγω

Ὁ δὲ πάππος ἤδη εἰς ἄκρον τὸ ὄρος ἥκει καὶ τὸν λύκον ὁρᾷ καὶ βοᾷ· «Ἐλθὲ δεῦρο, Φίλιππε· μὴ δίωκε ἀλλ᾽ἐπάνελθε.» Νῦν δὲ ὁ Ἄργος τὸν λύκον ὀδὰξ λαμβάνει καὶ κατέχει, ὁ δὲ Φίλιππος ἤδη πάρεστι καὶ τὴν μάχαιραν λαμβάνει καὶ τύπτει τὸν λύκον. Ὁ δὲ ἀσπαίρει καὶ καταπίπτει πρὸς τὴν γῆν.



ὁ Ἄργος τὸν λύκον ὀδὰξ λαμβάνει καὶ κατ-έχει



ἡ μάχαιρα



ὁ Φίλιππος τύπτει τὸν λύκον

κατα-πίπτω

| | | | |
|---|---|---|---|
| ἀναστρέφω | em gir | ἀσπαίρω | bateg, resistesc |
| πρῶτος, πρώτη, πρῶτον | | primer | |

| | |
|---|---|
| βούλονται | volen |

## Capitolo V



ὁ πάππος τὸν λύκον ὁρᾷ ἐπὶ τῇ γῇ κείμενον

ἀγαθός, -ή, -όν ↔ κακός

Ἐνταῦθα δὴ προσχωρεῖ ὁ πάππος καὶ τὸν λύκον ὁρᾷ ἐπὶ τῇ γῇ κείμενον. Θαυμάζει οὖν καί, «εὖ γε, ὦ παῖ,» φησίν· «μάλα ἀνδρεῖος εἶ. Μέγας γάρ ἐστιν ὁ λύκος καὶ ἄγριος. Σὺ δέ, ὦ Ἄργε, ἀγαθὸς εἶ κύων· εὖ γὰρ τὰ πρόβατα φυλάττεις. Νῦν δέ, Φίλιππε, οἴκαδε σπεῦδε· ἡ γὰρ μήτηρ δήπου ἐθέλει γιγνώσκειν ποῦ εἶ καὶ τί πάσχεις.»

Ἐπεὶ δὲ τῇ οἰκίᾳ προσχωροῦσιν, τὴν μητέρα ὁρῶσιν. Ὁ μὲν οὖν πάππος σπεύδει πρὸς αὐτὴν καὶ πάντα λέγει. Ἡ δέ, «ἆρα ἀληθῆ λέγεις;» φησίν. «Εὖ γε, ὦ παῖ· μάλα ἀνδρεῖος εἶ. Ἀλλ᾽ἰδού, προσχωρεῖ ἡ Μέλιττα ἀπὸ τῆς κρήνης. Ἐλθὲ δεῦρο, ὦ Μέλιττα, καὶ ἄκουε· ὁ γὰρ Φίλιππος λύκον ἀπέκτονεν.» Ὁ μὲν οὖν πάππος πάντα αὖθις λέγει, ἡ δὲ Μέλιττα μάλιστα θαυμάζει καὶ λέγει ὅτι καὶ ὁ Ἄργος καὶ ὁ Φίλιππος μάλα ἀνδρεῖοί εἰσι



ἡ Μέλιττα θαυμάζει

| | |
|---|---|
| κείμενον | que jeu |
| πάντα | tot |
| ἀληθῆ | la veritat |
| ἀπέκτονεν | ha matat |

| | |
|---|---|
| ἐνταῦθα | aquí, en aquest punt |
| θαυμάζω | admir |
| δήπου | certament |
| ἐνταῦθα δή | just ara |
| εὖ γέ | be! |

καὶ ἰσχῡροί.

Ἔπειτα δὲ ἡ μήτηρ, «νῦν δὲ ἐλθὲ δεῦρο, ὦ φίλε,» φησίν, «καὶ κάθιζε μεθ᾽ἡμῶν ὑπὸ τῷ δένδρῳ· μάλα γὰρ κάμνεις. Σὺ δέ, Μέλιττα, κάθιζε καὶ σύ. Ἀκούετε οὖν· ἐγὼ γὰρ βούλομαι καλὸν μῦθον ὕμῖν λέγειν.»

μεθ' = μετ' (*davanti a* ʽ)

Ὁ μὲν οὖν πάππος καθεύδει — μάλα γὰρ κάμνει — οἱ δὲ παῖδες καθίζουσιν ὑπὸ τῷ δένδρῳ καὶ ἀκούουσιν· ἐπιθῡμοῦσι γὰρ ἀκούειν τὸν μῦθον.

| | |
|---|---|
| βούλομαι | vull |

| | |
|---|---|
| ἐπιθῡμέω | desig |
| ὁ μῦθος | el conte, la faula, el mite |
| ὑμῖν | a vosaltres, us, -vos |